UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Paulo Presbytero. 73.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

τὰ ἄλλα πάντα τὰ δοκοῦντα τοῖς ἀπαιδεύτοις συμπράττειν ἀνατραπήσεται. εἰ γὰρ καὶ ψυχικὸς ἄνθρωπος οὐ δύναται δέξασθαι τὰ τοῦ πνεύματος, ἀλλὰ δυνήσεται. καὶ εἰ δένδρον πονηρὸν οὐ δύναται ποιεῖν καρπὸν καλὸν, ἀλλὰ δυνήσεται. οὐ γὰρ ταὐτὸν τὸ μὴ δύνασθαι τῷ μὴ δυνήσεσθαι, ἀλλὰ τὸ μὲν τὸν ἐνεστῶτα μηνύει χρόνον, καθ' ὃν ὁ ῥάθυμος, ῥάθυμος· τὸ δὲ τὸν μέλλοντα, καθ' ὃν ἐνδέχεται τὸν πρώην φαῦλον, σπουδαῖον γενήσεσθαι. καὶ βοᾷ μὲν τοῦτο τὰ πράγματα καθ' ἑκάστην ἀμειβόμενα τὴν ἡμέραν. ἐγγυῶνται δὲ καὶ αἱ γραφαί. πῶς γὰρ ὁ μελῳδὸς πεσὼν ἀνέστη; πῶς δ' ὁ Παῦλος διώκτης ὢν ἀνεμαχέσατο, καὶ κήρυξ τοῦ διωχθέντος κατέστη; πῶς δὲ Πέτρος ἀρνησάμενος ἀπετρίψατο τὴν κηλῖδα; πῶς δὲ ἡ ἀγριέλαιος εἰς τὴν καλλιέλαιον ἀνεκεντρίσθη; πῶς οἱ Νινευῖται ἐσώθησαν; πῶς δ' ὁ λῃστὴς εἰς τὸν παράδεισον ἐπέμφθη; μαθὼν τοίνυν ὅτι τῆς ἄνωθεν προηγουμένης ῥοπῆς, ὁ βουλόμενος καὶ πονῶν καὶ πάντα κινῶν· οὐ γὰρ ἀρκεῖ ψιλὸν τὸ θέλειν· καὶ μανθάνει, καὶ καρποφορεῖ, καὶ σώζεται· πάντα τὰ παρὰ σαυτοῦ ποίει, τὰ πρὸς τὴν τῶν πταιόντων διόρθωσιν βλέποντα.

dem modum alia etiam omnia, quæ imperitis hominibus aſtipulari videntur, obterentur. Quanquam enim animalis ho- 1. Cor. 2.
mo non percipiat quæ ſunt Spiritus: at
percipere poterit. Eodémque modo quã- Matt. 7.
quam arbor mala fructum bonum ferre
nequit: at ferre poterit. Neque enim idem
ſunt, non poſſe, & poteſtatem habiturum
non eſſe: verùm illud præſens tempus ſignificat, in quo ignauus, eſt ignauus: hoc
autem futurum, in quo fieri poteſt vt qui
paulò antè improbus erat, probus efficiatur. Atque hoc cùm res ipſæ clamant, mutationem ſingulis diebus ſubeũtes: & Scripturæ ipſe confirmant. Quonam enim 2. Re. 12.
modo Dauid lapſus ſeſe erexit? Quonam Act. 9.
modo Paulus, cùm perſecutor eſſet, hanc
culpam ſarciuit, atque eius, quem inſectatus fuerat, præco inſtitutus eſt? Quonam
pacto, Petrus, poſteaquàm Chriſtum ab- Mat. 26.
iurauit, huiuſmodi labem abſterſit? Quonam pacto oleaſter in bonam oliuam in- Rom. 11.
ſertus eſt? Quonam pacto Niniuitæ ſalutẽ Ion. 3.
conſecuti ſunt? Quonam pacto latro, in Luc. 23.
paradiſo miſſus eſt? cognita igitur præeuntis diuini auxilij facultate, quiſquis vult, &
laborat, atque omnia mouet (neque enim
nuda voluntas ſufficit) tum addiſcit tum
fructum edit, tũ ſalutem aſſequitur. Quocirca ea omnia, quæ tuarum partium ſunt,
quæque ad peccãtium correctionem pertinent, effice.

Παύλῳ πρεσβυτέρῳ. ογ.

Τὴν ἀνάγνωσιν τῶν ἱερῶν γραφῶν, ἐφόδιον ἡγοῦ τῆς σωτηρίας, τρέφουσαν παραδείγμασιν εὐδοκίμοις τὸ φιλόκαλον καὶ ἀνδρῶδες τῶν μετὰ σπουδῆς ἀκροωμένων.

*Paulo Preſbytero. 73.*

Sacratum Scripturarum lectionem ſalutis viaticum eſſe exiſtima, vt quæ, eorũ, qui eã ſtudioſè ac diligenter audiunt, probitatis amorem ac virile robur præclaris & illuſtribus exemplis paſcat.

Ἡρακλείδῃ ἐπισκόπῳ. οδ.

Ὅτε Ἐζεκίου βασιλεύοντος, πᾶσαν τὴν περσίδα ἄγων ἐπῆλθε τῇ Ἱερουσαλὴμ ὁ βάρβαρος, καὶ τρόπαιον ἔστη θαυμαστὸν καὶ θεῖον, καὶ τῶν πώποτε γενομένων ἐπισημότερον. τότε δὴ φυσηθέντι τῷ Ἐζεκίᾳ, καὶ ὑπὸ τῆς χαρᾶς

*Heraclidæ Epiſcopo. 74.*

Cùm regiam dignitatem obtinente Eze-
chia Barbarus Perſiam vniuerſam ducẽs, 4. Re. 18.
Hieroſolymam aggreſſus fuiſſet, réxque 19.
admirandum ac diuinum, atque omnium,
quæ vnquam contigerant, illuſtriſſimum
trophæum erexiſſet, tum verò ipſi ex hoc